www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ & ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΣΩΦΡΟΝΙΟΥ ΤΟΥ ΕΝ ΕΣΣΕΞ,

(ἑορταζομένου τῇ 11ῃ Ἰουλίου)

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,
φιλοπάτορι αἰτήσει τῶν Πανοσιολογιωτάτων Πατέρων καὶ ἀδελφῶν τῆς ἐν Ἔσσεξ Ἀγγλίας Ἱερᾶς Σταυροπηγιακῆς Μονῆς τοῦ Τιμίου Προδρόμου, τέκνων κατὰ πνεῦμα τοῦ Ὁσίου Πατρὸς Σωφρονίου.

* Ἅγιον Ὄρος Ἄθως * ͵βκ´ * 2020 *



ΤΗι ΙΑ' ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΛΙΟΥ ΜΝΗΜΗ
ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΩΦΡΟΝΙΟΥ, ΚΤΙΤΟΡΟΣ ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ
ΤΙΜΙΟΥ ΠΡΟΔΡΟΜΟΥ ΕΝ ΕΣΣΕΞ ΑΓΓΛΙΑΣ

* * *

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. Ϛ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Γόνος ἁγίας Ῥωσίας, πάτερ Σωφρόνιε, τὸ κατὰ σάρκα ἔφυς, ἀλλὰ Ἄθω πολίτης, ἐγνώσθης οἰκουμένῃ, ἔνθα Μονὴν, Παντελεήμονος εὕρηκας, τῆς ἐν Χριστῷ μετανοίας ἰδανικόν, ὡς ἐπόθεις τόπον ὅσιε.

Πάσας ψυχῆς σου δυνάμεις, πάτερ Σωφρόνιε, πρὸς τὸν Δεσπότην στρέψας, εὗρες ἄφθονον χάριν, καὶ κόσμον καταλείψας μόνον Χριστόν, σωφρονῶν ἐπεπόθησας, Σιλουανὸν δὲ ἐν Ἄθῳ καθοδηγόν, θεονούστατον ἐπλούτησας.

Μόνος πρὸς Μόνον εἰστήκεις, πάτερ Σωφρόνιε, ἐν πανερήμῳ Ἄθω, ἐκζητῶν τοῦ Κυρίου, τὸ Πρόσωπον ἐμπόνως, διό σοι τὸ φῶς, τὸ Θαβώρειον δέδωκεν, ὡς ἀῤῥαβῶνα ἀκτίστων ἐνεργειῶν, δι' ὧν βίον σου ἐκόσμησεν.

Τῆς ἐν Θεῷ σωφροσύνης, ὤφθης παλάτιον, ἐν ᾧ αἱ ἐπιλάμψεις, Παρακλήτου παμμάκαρ, ὁδοὺς θεολογίας τῆς ὑψηλῆς, μυστικῶς σοι ἐδίδαξαν, ἃς ἐν γραφαῖς σου Σωφρόνιε θησαυρόν, Ἐκκλησίᾳ καταλέλοιπας.

Ὁ Μωϋσῆς ἐν Σιναίῳ, τὸν Νόμον εἴληφε, καὶ ὥσπερ πῦρ ὅλος φλέγων, τοῖς Ἑβραίοις ὡρᾶτο, σὺ δὲ τηρήσας Πάτερ, εἰς ᾅδην τὸν νοῦν, φῶς θαβώρειον ἔβλεπες, οὗ ἐνεργείαις ἀῤῥήτως καταστραφθείς, ἀπλανὴς ὤφθης διδάσκαλος.

Τόπον ἐκ τόπου Δεσπότης, σὲ μετενήνοχεν, φωτίζοντα σῷ βίῳ, καὶ τοῖς λόγοις σου Πάτερ, τοὺς δίψει προσιόντας ποικίλους πιστούς, ἕως οὗ καθωδήγησεν, ἐν Βρετανίᾳ, ἱδρύσαντα τὴν Μονήν, Βαπτιστοῦ πάτερ Σωφρόνιε.

Δόξα. Ἦχος β'

Τοῦ Φιλανθρώπου Ἰησοῦ, καταφωτίσαντός σου τὴν ψυχήν πάτερ Σωφρόνιε, τὴν ὁδὸν ἐβάδισας τοῦ ὀρθοδόξου ἐξαγιασμοῦ. Ὅθεν πρὸς τὸ νοητὸν Θαβὼρ ἀνῆλθες, τῇ ἐν τῷ Ἄθῳ καθοδηγίᾳ τοῦ θεοφόρου πατρός σου Σιλουανοῦ· πλησθεὶς δὲ τῶν ὑπὲρ νοῦν ἀκτίστων δωρεῶν, διδάσκαλος ἔμπειρος, ἀπλανής τε καὶ σοφός, τῆς Ἐκκλησίας ἀναδέδειξαι, πλήθη τῆς Οἰκουμένης ὁδηγήσας πρὸς τὴν ἀλήθειαν τοῦ γλυκυτάτου Ἰησοῦ. Ὃν διηνεκῶς καθικέτευε φιλόψυχε Ὅσιε, ὑπὲρ πάντων τῶν πόθῳ μελετώντων τὸν βίον καὶ τὰς θεοσόφους σου βίβλους, καὶ χρεωστικῶς τιμώντων, τὴν ψυχοχαρμόσυνόν σου κοίμησιν.

Καὶ νῦν. Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου, τῆς Χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες, καὶ παρθένος ἔμεινας· ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ
## Ψάλλομεν στιχηρὰ ἰδιόμελα

### Ἦχος α΄.

Τὰ φυσικά σου πλεῖστα χαρίσματα, τὴν κατὰ κόσμον εὐδοκίμησιν ἀσφαλῶς προοιμιάζοντα, ἐκτιναξάμενος τῆς ψυχῆς σου ὡς κόνιν ἄχρηστον, πάτερ Σωφρόνιε, τὸν ἀσφαλῆ τρόπον θεώσεως τοῦ ἀρχαιοπαραδότου Μοναχισμοῦ θεοσόφως ἐπιλεξάμενος, τὸ Περιβόλιον τῆς Θεομήτορος, ὡς ἔλαφος ταχύδρομος κατείληφας. Τυχὼν δὲ ἐν τούτῳ διδασκάλου πολυπείρου καὶ θεοψύχου, τοῦ ὁσιωτάτου πατρὸς Σιλουανοῦ, τὰς τῆς ψυχῆς σου ὑπερεπλήρωσας ἀποθήκας, δοξάζων τὸν περὶ σὲ οὕτω σοφῶς οἰκονομήσαντα Κύριον.

Ἦχος β'.

Τὴν ἀπαράκλητον ἔρημον τῶν Καρουλίων ὡς ὑμνητικὸς ἐρῳδιὸς οἰκήσας, πλείονι προθυμίᾳ ἢ πρότερον τὴν ἄσκησιν ἐπέδειξας, γενόμενος τοῖς ἐν Ὄρει Πατράσι πάνυ ἀγαπητὸς καὶ περιπόθητος ὅσιε Σωφρόνιε. Βαδίζων δὲ τὴν τῶν ἀρχαίων ἡσυχαστῶν δεδοκιμασμένην ὁδόν, ἄχρι βαθέος αὐτομίσους, νέος Παλαμᾶς ἀναδέδειξαι ἐν τοῖς ἐσχάτοις τούτοις ἔτεσι. Οὕτως ἀποδείξας, ὅτι Χριστὸς Ἰησοῦς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας ἅπαντας, Θεὸς ἡμῶν ἐστὶ ἀναλλοίωτος καὶ παντοδύναμος .

Ἦχος γ'.

Τῆς σιναϊτικῆς ἀποκαλύψεως τὸ μυστήριον ἐξηγήσας ὡς ἄριστος ἑρμηνεύς, τῆς ἡσυχαστικῆς νήψεως, τὴν θεολογίαν ὡς ἔμπειρος θεόπτης καταλεπτῶς διεσάφησας. Ὅθεν ὡς σοφὸν διδάσκαλόν τε καὶ ἀπλανῆ καθηγητὴν τῆς Ἐκκλησίας, οἱ ὀρθόδοξοι πιστοί, τιμῶμέν σε πάτερ Σωφρόνιε.

Ἦχος δ'.

Ἔδωκας αἷμα θαυμαστῆς αὐταπαρνήσεως, δι' ἀγάπην Χριστοῦ καὶ τῶν ἀδελφῶν σου, θεόφρον πάτερ Σωφρόνιε. Ὅθεν ὁ πλουσιόδωρος Δεσπότης ὑπερφυῶς ἐτίμησε τὴν ὑπερφυᾶ βιοτήν σου. Κινήσας δὲ τὴν κεχαριτωμένην σου χεῖρα, γραμματέα ὀξυγράφον σε ἀνέδειξε, φανερώσαντα καινῶς τὰ παλαιὰ ἤθη τῆς Ἐκκλησίας. Διὸ ὡς διδάσκαλος ἀπλανὴς καὶ θεοφόρος, δικαίως ὑπὸ πάντων ἀνεγνωρίσθης καὶ ὡς τοιοῦτος ἀνηγόρευσαι.

Δόξα. Ἦχος πλ.α'.

Τὴν ὑπὸ σοῦ ἀνιδρυθεῖσαν Μονὴν τοῦ Τιμίου Βαπτιστοῦ, ἄλλον ὑπερῷον Πεντηκοστῆς ἀνέδειξας, θεολαμπέστατε πάτερ Σωφρόνιε. Ἐν ταύτῃ γὰρ πανταχόθεν τῆς οἰκουμένης ψυχὰς θεοδιψάστους συναγαγών, ὑγιέστατον ὄασιν Ὀρθοδοξίας ἀπέδειξας, καταφωτίζουσαν σωτηριωδῶς τὸν τῆς συγχρόνου Δύσεως ἀρνητικὸν σκοτασμόν. Διὰ δὲ τῆς σεπτῆς ἐναποθέσεως τοῦ τιμίου σκήνους σου ἐν τῇ γῇ τοῦ Ἔσσεξ, σπόρος ἰσχυρότατος τῆς ἀληθείας τοῦ Χριστοῦ κατεφυτεύθης, ὅπως ἐκβλαστάνῃς ἀεὶ διὰ τῆς μετανοίας, σωτηρίας δένδρα ἔμψυχα.

Καὶ νῦν, ὁμόηχον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν κραταιὰν προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ
Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.α'. Χαίροις ἀσκητικῶν.

Χαίρει ἡ Ἐκκλησία Χριστοῦ, μετὰ χοροῦ ὁσιακοῦ καθορῶσά σε, Σωφρόνιε θεοφόρε, τοῖς παλαιοῖς ἀσκηταῖς, ἐξομοιωθέντα τοῖς παλαίσμασι, εὑρὼν γὰρ πολύτιμον, μαργαρίτην τῆς νήψεως, ἐν Ὄρει Ἄθω, ὡς σοφώτατος ἔμπορος, πλοῦτον ηὔξησας, τῆς δοθείσης σοι χάριτος. Ἄριστον γὰρ ἐγνώρισας, σοφόν τε διδάσκαλον, Σιλουανὸν σχόντα πεῖραν, θεωτικῆς ἐνασκήσεως, μεθ’ οὗ νῦν Κυρίῳ, ὑπερεύχεσθε τῶν ὅσοι, ὑμᾶς δοξάζουσι.

Στίχ.Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χαίρει ἡ κατὰ σάρκα πατρίς, ἡ σὲ γεννήσασα Σωφρόνιε Ὅσιε, ὁ Ἄθως δὲ ὑπερχαίρει, ἔνθα ὁδὸν ἀσκητῶν, τῶν ἀρχαίων δρόμον ἠκολούθησας. Ἡ δὲ Παναμώμητος, τοῦ Κυρίου γεννήτρια, ὑπέρ τις ἄλλος, ἐγκαυχᾶται ἐκθρέψασα, θεολόγον σε, καὶ Πατέρων ἰσάξιον, ἅπαντας καταρδεύοντα, πιστοὺς θείαις βίβλοις σου, ὡς ἐπινεύσει γραφείσας, τοῦ ἐπιλάμποντος Πνεύματος. Διό σου τὴν μνήμην, ἐν ᾠδαῖς ψαλμοῖς καὶ ὕμνοις, πόθῳ γεραίρομεν.

Στίχ.Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Ὄντως!ἡ Ἐκκλησία Χριστοῦ, ἀεὶ νεάζει καὶ γεννᾷ τέκνα Χάριτος.Τὴν δύναμιν φανεροῦσα τῶν μυστηρίων Αὐτῆς, δι’ ὧν οἶδε τρέφειν τὰς ψυχὰς πιστῶν. Καὶ λόγου ἀπόδειξις, ὁ θεόφρων Σωφρόνιος, ὁ καταυγάζων, Οἰκουμένης τὰ πέρατα, θείοις ῥήμασι,τῆς εὐχῆς ἀπαυγάσμασιν. Οὗ τὴν σεπτὴν πανήγυριν, τιμῶντες δοξάζομεν, τὴν Παναγίαν Τριάδα, τοιοῦτον μέγαν διδάσκαλον, ἡμῖν παρασχοῦσαν, καὶ θερμότατον ἱκέτην καὶ ἀντιλήπτορα.

Δόξα. Ἦχος δ'.

Ὅπου καὶ ἂν εὑρέθης θεοφόρε Σωφρόνιε

τοὺς τόπους μυστικῶς μετέβαλες εἰς Θαβὼρ θεοπτίας, τῇ ἀσκητικῇ σου ἀγωγῇ. Νήφων γὰρ ἐν ἐπιγνώσει, ἀδιαλείπτως συνωμίλεις τῷ Δεσπότῃ, πεῖραν καινὴν θεογνωσίας τῇ ψυχῇ ἑκάστοτε ἐπιστοιβάζων. Ὡς καλὸς δὲ οἰκονόμος τῆς Χάριτος, ἀφθόνως τοῖς διψητικῶς σοι προσιοῦσι τὰς ἐμπειρίας σου μετέδιδες, λόγοις ἐμπνευσμένοις καὶ βίβλοις θεογράφοις, πάντας περιβάλλων ἐν θεοειδεῖ ἀγάπῃ, καὶ λογιζόμενος ὡς εἰκόνας ἐμψύχους Χριστοῦ. Ὅθεν ἐκτενῶς, σοῦ δεόμεθα Πάτερ, μὴ διαλίπῃς πρεσβεύειν, πλησθῆναι καὶ ἡμᾶς Αὐτοῦ τῆς θείας γνώσεως.

Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον

Νεῦσον παρακλήσεσι, σῶν ἱκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι. Σπεῦσον εἰς ἱκεσίαν τῶν σοὶ πιστῶς βοώντων· χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον.

Ἦχος δ'. Ὁ ὑψωθείς.

Πατρὸς Ὁσίου ποθεινότατον τέκνον,
Σιλουανοῦ τοῦ Ἀθωνίτου ἐδείχθης,
Σωφρόνιε χριστόνοε καὶ θεῖος ἑρμηνεύς,
τῇ σοφίᾳ λόγων σου, ἐν τῇ Δύσει ἐκλάμψας,
καὶ ἐνθέῳ βίῳ σου, πρὸς τὸ Φῶς ὁδηγήσας,
τοὺς αἱρομένους Πάτερ τὸν Θεόν,
Ὅν περ εὐχαῖς σου, ὀψόμεθα πώποτε.

Θεοτοκίον

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον,
καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον,
διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται·
Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος,
καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος,
δι᾽ οὗ ἀναστήσας τὸν Πρωτόπλαστον,
ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.



ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν.
Κάθισμα. Ἦχος α΄. Τὸν Τάφον σου, Σωτήρ.

Τοῦ θείου Βαπτιστοῦ, ἀρχηγοῦ μοναζόντων, ἀνήγειρας Μονήν, ἐν ᾗ ἤθροισας Πάτερ, εἰς μίαν ὁμόψυχον, ἐν Χριστῷ ἀδελφότητα, ἥν ἐνίσχυε, ταῖς ἱεραῖς σου πρεσβείαις, καὶ συντήρησον, ὡς φωτεινότατον φάρον, ἐν σκότει τῆς δύσεως.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Παράδεισον ἐν γῇ, λογικόν σε φυτεύσας, Χριστὸς ὁ φυτουργός, Παραδείσου τοῦ πρώτου, ἐν μέσῳ σου Δέσποινα, ὡς ζωῆς ξύλον ἔφησεν· Ὃν ἱκέτευε, τοῦ τῆς τρυφῆς Παραδείσου, ἀξιῶσαί με, καὶ ἐφ’ ὑδάτων ἐκθρέψαι, τερπνῆς ἀποφάσεως.

Μετὰ τὴν β΄ στιχολογίαν.
Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Σοφίᾳ ἐδίδαξας, ἀρχὴν ὑποστατικήν, καὶ ταύτην ἀνέλυσας, εἰς βάθος Πάτερ σεπτέ, τοῦ Πνεύματος χάριτι, ὅθεν ἐν Θεολόγοις Ἐκκλησίας ἐτάχθης, γνῶσιν τῶν μυστηρίων, ἐμπειρίᾳ πλουτήσας, δι’ ἧς ἐντεῦθεν ἄνθρωπος, θεοῦται Ὅσιε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἁγνὴ ἀπειρόγαμε, Χριστιανῶν ἡ ἐλπίς, πτωχῶν ἀντιλήπτρια, τῶν θλιβομένων χαρά, πενθούντων παράκλησις, ῥῦσαί με συσχεθέντα, πειρασμοῖς ἀδοκήτοις, ἴασαί με νοσοῦντα, κατὰ σάρκα καὶ πνεῦμα, πρὸς σὲ γὰρ κατέφυγον, μόνη Πανάχραντε.

Μετὰ τὸν Πολυέλεον.
Κάθισμα. Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.

Τὸν σταυρὸν μοναζόντων Πάτερ ἀνείληφας, καὶ εἰς Ἄθω τὸν θεῖον σωφρόνως ἤσκησας, πρότυπον ἔχων ἀσκητὰς τοὺς πρώην λάμψαντας, καὶ τὴν φύσιν ὑπερβάς, κατηξιώθης δωρεῶν, ἃς Ἐκκλησίᾳ ἀνέθου, ἧς θεολόγος ἐδείχθης, πάτερ Σωφρόνιε ἀκρότατος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἡ τὸ ἄνθος τὸ θεῖον ῥίζα βλαστήσασα, κιβωτὲ καὶ λυχνία, καὶ στάμνε πάγχρυσε, ἁγία τράπεζα ζωῆς τὸν ἄρτον φέρουσα, ὡς Υἱόν σου καὶ Θεόν, ἐκδυσώπησον αὐτόν, σὺν τοῖς ἀγγέλοις καὶ πᾶσι, τοῖς ἀπ᾽ αἰῶνος Ἁγίοις,
τοῦ ἐλεῆσαι τοὺς ἀνυμνοῦντάς σε.

Οἱ Ἀναβαθμοί. Τὸ α´ ἀντίφωνον τοῦ δ´ ἤχου· Ἐκ νεότητός μου.
Προκείμενον· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχος· Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.

Εὐαγγέλιον, τὸ ὁσιακόν(βλ.ὄρθρον ὁσίου Σάββα).
Ὁ Ν´ ψαλμός, Ἐλέησόν με ὁ Θεός.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β´.
Στίχ. Ἐλέησόν με ὁ Θεός....

Οἵας ἀξιοῦται μεταβολῆς ὑπὲρ λόγον, ἡ φύσις τῶν βροτῶν, ὅτε τὸ Πνεῦμα τὸ Ἅγιον θαυμαστῶς ἐπιφοιτήσῃ, σὺ πάτερ πολύσοφε Σωφρόνιε ἔδειξας, ὅστις ταύτῃ χρώμενος, ἑκατονταπλασίως τὸν καρπὸν ἀπέδωκας φιλοτίμως. Καὶ νῦν παριστάμενος τῷ ἠγαπημένῳ Κυρίῳ, πρέσβευε ἐκτενῶς, δεόμεθα, ὑπὲρ πάντων τῶν ἀνὰ τὴν οἰκουμένην φιλοπατόρως τιμώντων σε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς:
"Τὸν σοφὸν Σωφρόνιον τοῦ Ἔσσεξ πόθῳ ᾄσω. Ἀ(θανάσιος)".
Ὠδὴ α´. Ἦχος πλ.δ´. Ἁρματηλάτην φαραώ.

Τῆς σωφροσύνης τὸ φαιδρὸν παλάτιον, τῶν θεολόγων ἀνδρῶν, μέγαν ὑποφήτην, καὶ σοφὸν διδάσκαλον, Ἀθωνιτῶν τὸ καύχημα, καὶ πατέρων τὸ μέγα, καὶ ὕψιστον ἐγκαλλώπισμα, ὕμνοις σε τιμῶμεν Σωφρόνιε.

Ὁ Ἐκκλησίας ἱδρυτὴς ἐκόσμησεν, Πάτερ χαρίσμασι, φυσικοῖς προβλέπων, τούτων καλλιέργειαν, δυνάμει Θείου Πνεύματος, ὡς ἀπέδειξεν εἶτα, ὁ βίος σου ὁ θαυμάσιος, ὁ ἐκπλήττων τοῦτον γινώσκοντας.

Νεανικήν σου ἀπειρίαν Ὅσιε, εἰδὼς ὁ δόλιος, ἔφεσιν ψυχῆς σου, πρὸς τὴν πλάνην ἔσυρεν, ὁ δὲ Χριστὸς ἐῤῥύσατο, φιλανθρώπως ἐκ ταύτης, ἀποκαλύψας τὸ μέγιστον, τῆς Οἰκονομίας μυστήριον.

Θεοτοκίον

Σὸς μαθητὴς καὶ ἀσκητὴς Πανάμωμε, θεῖος Σωφρόνιος, ἐν τῷ Περιβόλῳ, τοῦ Ἁγίου Ἄθωνος, σῇ προστασίᾳ δέδεικται, ὡς οἱ πάλαι Πατέρες, ἀπὸ αἰώνων ἠσκήσαντο, ἔχοντες φιλότεκνον σκέπην σου.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ὁδηγὸν θεοφόρον, ἐν τῇ Μονῇ εὕρηκας, τοῦ μεγαλομάρτυρος θείου, Παντελεήμονος, πάτερ Σωφρόνιε, Σιλουανὸν ὃς τὰ βάθη, τῆς ζωῆς ἐν Πνεύματι, σοὶ ἐφανέρωσε.

Φιλοτίμως διάγων, ἐν τῇ Μονῇ Ὅσιε, τὰς διακονίας ἐτέλεις, ὡς κατενώπιον, τοῦ Παντοκράτορος, καὶ λογιζόμενος, τὴν ἄσκησίν σου ὡς δῶρον, Τούτῳ προσφερόμενον, ἀνταγαπήσεως.

Ὁ σοφὸς ὁδηγός σου, κατανοῶν ἔφεσιν, τῆς Θεὸν διψώσης ψυχῆς σου, σοὶ ἐξεκένωσε, τὸν πλοῦτον ἅπαντα, ὃν ἐν τῷ Ὄρει συνῆξε, προορῶν ἐξέλιξιν, τῆς πολιτείας σου.

Θεοτοκίον

Νοερῶς ἐπευλόγεις, τοὺς μυστικοὺς Ἄχραντε, κόπους οὕς ἐτέλει σὸν τέκνον, καὶ ἐξεζήτει σου, μητρῴαν σύμπραξιν, συντετριμμένῃ καρδίᾳ, κράζον Σπεῦσον Δέσποινα, σκέπε με πάντοτε.

Κάθισμα. Ἦχος πλ.δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν ἀπάτην τοῦ βίου διαπιστῶν, καὶ τὰς τούτου παγίδας διαφυγών, σωφρόνως ἐπέλεξας, τὴν μονότροπον βίωσιν, ἐν τῷ Ὄρει τοῦ Ἄθω ἐλθὼν ὥσπερ ἔλαφος, διασπάσας τὰς σχέσεις, πρὸς κόσμου τὴν μέριμναν· ὅθεν ἐν τῷ βάθει, τῆς ψυχῆς ἐπιβλέπων, τὸν νοῦν σου ἐκάθηρας, μετανοίας τοῖς δάκρυσιν, καὶ τὴν χάριν ἐφείλκυσας, εὐχὴν καρδιακὴν ἐξασκῶν, ἀγρυπνίαις συνεχέσιν Ὅσιε, ταῖς σοφαῖς ὁδηγίαις, σεπτοῦ διδασκάλου σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Διὰ κόσμον Παρθένε τὸν κοσμικόν, καὶ ταγμάτων τῶν ἄνω καλλωπισμόν, ἐν κόσμῳ ἐκύησας, τὸν τοῦ κόσμου Κοσμήτορα· πρὸ γὰρ τούτου Κόρη, ὑπῆρχον ἀκόσμητα, ὡς βροτῶν μὴ βλέπειν, δυναμένων τὸν Κύριον· ὅθεν ἀμφοτέρων, κοσμιότης κοσμία, ὡράθης Μητρόθεε, κοσμιότητι Τόκου σου· τὸν γὰρ κόσμον ἐκόσμησας, κόσμῳ τῷ ἀρχαίῳ δι' αὐτοῦ, καὶ Ἀγγέλων πάντα τὸν διάκοσμον, κατακοσμεῖς ὑπερκάλως, ἐν σοὶ κοσμοσώτειρα.

Ὠδὴ δ΄. Σύ μου ἰσχύς, Κύριε.

Συμμοναστὰς σώφρονας, ἔχων σου πρότυπα, κατεβάλου, ὅσιε Σωφρόνιε, ἀδελφικῶς, πᾶσάν σου σπουδήν, ὅπως ἀντιγράφῃς, αὐτῶν τοὺς ἄθλους καὶ σκάμματα, πρὸς ὄφελος ψυχῆς σου, κρυφίως τοῦτο πράττων, τὸ κενὸν ἀφανίζων δοξάριον.

Ὡς ἀθλητὴς γνήσιος, τοῦ Παντοκράτορος, τὰς ἐφόδους, μισοψύχου δαίμονος, καρτερικῶς, διὰ τῆς εὐχῆς, πάσας ἐθεώρεις, ὥσπερ παιδίων ἀθύρματα, φυλάττων εἰς τὸν ᾅδην, τὸν νοῦν ὡς ἐδιδάχθης, καὶ ἐκεῖθεν ζωὴν ἐξαντλούμενος

Φωτοφανῆ ἔλλαμψιν, πάτερ Σωφρόνιε, δυναμοῦσαν σώματος ἀσθένειαν, καὶ γλυκασμόν, Χάριτος πολλῆς, ἔχων τῇ ψυχῇ σου, ἐπέτεινες τοὺς ἀγῶνάς σου, καὶ πλοῦτον ὁσημέραι, πνευματικὸν συνῆγες, ἐπαυξάνων τὸν ἔσω σου ἄνθρωπον.

Θεοτοκίον

Ῥεῖθρον ζωῆς Ἄνασσα, πέφυκε δάκρυον, ὡς Πατέρες ἅπαντες διδάσκουσι, τὸ ἐξ ἀγάπης πρὸς τὸν Θεόν, ῥέον καὶ ποτίζον, τὴν ἀρετότεκνον ἄρουραν, ἥτις καρπὸν ἐκφέρει, ἐν καταλλήλῳ χρόνῳ, καὶ ψυχὴν γενναιόφρονα δείκνυσι.

ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Οὐδαμῶς ἠδυνήθη, τοῦ προτέρου βίου μνήμη Πάτερ ἐνοχλῆσαι σε, εὗρέ σε ἑδραῖον, καὶ ἀπῆλθεν ἐν λύπῃ ὡς ἄπρακτος, μέγα γὰρ στοιχεῖον, ἐζημιώθη, ὅπερ βέλει, ὁ Χριστοῦ θεῖος ἔρως ἐτόξευσε.

Νύκτες στάδια ἦσαν, τῶν ὑπὲρ τὴν φύσιν πάτερ ἀγώνων σου, ὡς ἀθῶον βρέφος, ἐκλαυθμήριζες γὰρ πρὸς Νυμφίον σου, ὦ Ἰησοῦ παράσχου, ἐμοὶ τὸν θεῖον γλυκασμόν σου, ἀκυροῦντα τοῦ κόσμου ψευδόνειρα.

Ἱερῶς ἐνετρύφας, ἐν τοῖς ἔργοις Πατέρων πάτερ Σωφρόνιε, ἔνθα μεταλλεῖα, θείας γνώσεως κεῖνται ἀδάπανα, πεῖραν γὰρ αἰώνων, πλουτοῦσι τεθησαυρισμένην, τὰς ψυχὰς παμπλουσίως ἐκτρέφουσαν.

Θεοτοκίον

Ὁ σταυρὸς τοῦ Υἱοῦ σου, πᾶσι τοῖς ἀπίστοις ὡς μωρία Θεοτόκε φαίνεται, ὅμως χριστωνύμοις, καὶ μονάζουσι πέλει ἀήττητον, κατὰ τῶν δαιμόνων, ὅπλον καὶ φέρον σωτηρίαν, τοῖς αὐτὸν προσκυνοῦσιν ἐκ πίστεως.

ᾨδὴ ϛ΄.Τὴν δέησιν ἐκχεῶ.

Νοήσαντες, οἱ Πατέρες Ὅσιε, τὴν ἀρίστην τῆς ψυχῆς σου πορείαν, ἀπὸ κοινοῦ, εἰς τὸ Βῆμα εἰσῆξαν, ἀγγελικῶς τῷ Κυρίῳ παρίστασθαι, καὶ λειτουργοῖς διακονεῖν, τὴν θυσίαν ὁπόταν προσφέρωσι.

Τὰ ὅσα σοι, μυστικῶς ὁ Κύριος, ἀπεκάλυψεν ἡμεῖς ἀγνοοῦμεν, ὅτι αὐτά, συνετήρεις σωφρόνως, ἐν τῷ ταμείῳ ψυχῆς σου Σωφρόνιε, ὃ ἔκλεισας διατηρῶν, τῆς Χριστοῦ ταπεινώσεως φρόνημα.

Ὁ βίος σου, ὁ σεπτὸς καὶ τρόπων σου, ἡ εὐγένεια, μακάριε Πάτερ, τῶν ἱερῶν, νοημάτων τὸ βάθος, καὶ ἡ πρὸς πάντας χριστόφρων ἀγάπη σου, κατέστησαν ἀγαπητόν, τῇ Μονῇ καὶ τοῖς σὲ πλησιάζουσιν.

Θεοτοκίον

Ὑπόδειγμα, θεϊκῆς ἁγνότητος, καὶ τελείας καθαρότητος Μῆτερ, ἐν λογισμοῖς καὶ τοῖς ἔργοις σε ἔχων, ὁ ἐκλεκτός σου Σωφρόνιος γέγονεν, παλάτιον φωτοειδές, ὑπερλάμπων ἐν θείᾳ ἁγνότητι.

Κοντάκιον
Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Πυρωθεὶς τῷ Πνεύματι, Ὃ ἐξεζήτησας πόθῳ,
ὅλος πῦρ θεόληπτε, ἐκ μετοχῆς ἐγεγόνεις,
εἶδες γάρ, ὡς δυνατὸν ἰδεῖν ἀνθρώποις,
Φῶς Χριστοῦ, καὶ ἐνεπλήσθης πολλῶν χαρίτων,
Δι' ὧν πᾶσαν Ἐκκλησίαν, καταφωτίζεις,
παμμάκαρ Σωφρόνιε.

Ὁ Οἶκος

Ὡς σοφῷ ὁ Θεὸς ἀπεκάλυψε, τὰ μυστήρια,
ἅ ὀλίγοις μόνον Πάτερ ἐνεπιστεύσατο,
καθὼς Μωσεῖ ἐν τῇ Βάτῳ Σινᾷ τῷ ὄρει.
Τὸ Ὄνομα γὰρ Αὐτοῦ «Ἐγώ εἰμι» ἐμβριθῶς ἐφανέρωσας,
καινῶς θεολογῶν τῇ δυνάμει τοῦ Πνεύματος.
Κρατῶν δ' εὐελπίστως εἰς ᾅδην τὸν νοῦν ὡς δεδίδαξαι,
ἐκεῖθεν ἤντλησας νάματα ταῖς βίβλοις σου θησαυρισθέντα,
καταπαύοντα τὴν δῖψαν τῶν ψυχῶν ἡμῶν.
Διὰ τοῦτό σε εὐγνωμόνως πάντες τιμῶμεν,
παμμάκαρ Σωφρόνιε.

Τὸ Συναξάριον

Τῇ ΙΑ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Σωφρονίου, τοῦ Ἁγιορείτου, Ἱδρυτοῦ καὶ Κτίτορος τῆς ἐν Ἔσσεξ Ἀγγλίας Ἱερᾶς καὶ Σταυροπηγιακῆς Μονῆς τοῦ Τιμίου ἐνδόξου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ἔνθα καὶ ἐκοιμήθη ὁσιακῶς ἐν Κυρίῳ τῷ ἔτει 1993.

Στίχοι

Ἔλαμψε Σωφρόνιος βιοὺς μεγάλως,
Ὑπερλάμπει δὲ νῦν χορῷ τῶν Ἁγίων.
Πνεῦμα Θεῷ Σωφρόνιος παρέθετ᾽ ἐνδεκάτῃ.

Ὠδὴ ζ΄. Παῖδες ἑβραίων.

Ἔσχες Θεολογίας χάριν, καὶ ὡς ἄριστα, τῆς Πίστεως τοὺς ὅρους, ἐν σοφίᾳ πολλῇ, ἡρμήνευσας φυλάττων, ἀμόλυντον Σωφρόνιε, θησαυρὸν Ὀρθοδοξίας.

Στύλος ἀκράδαντος ἐφάνης, ἐνασκούμενος, ἐν τῇ ἐρήμῳ Ἄθω, μιμηθεὶς ἀσκητῶν, παλαίσματα ἀρχαίων, εὐαρεστήσας Ὅσιε, κατὰ πάντα τῷ Κυρίῳ.

Σώματι ἐξησθενημένῳ, ἀλλὰ Πνεύματι, ἁγίῳ ζωουμένῳ, ὡς ζωγράφος καλός, Σωφρόνιε τὸν τύπον, Κυρίου ἀνεξάλειπτον, ἰχνογράφησας ψυχῇ σου.

Θεοτοκίον

Ἔδωκας πάλαι Γρηγορίῳ, Παλαμᾷ Σεμνή, φωτὸς ἀκτίστου χάριν, καὶ ἐσχάτοις καιροῖς, ταύτην τῷ Σωφρονίῳ, ἰσόβιον κεχάρισαι, προσκυνοῦντί σου τὴν δόξαν.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ξένα τε καὶ παράδοξα, τὰ τοῦ βίου σου Ὅσιε,
τοῖς μὴ σχοῦσι πεῖραν, τοῦ Ἁγίου Πνεύματος,
ὑφ᾽ Οὗπερ πεπλήρωσαι,καὶ ὑπ᾽ Αὐτοῦ ἐφέρεσο,
καὶ τὸν φωτισμὸν διατηρῶν ἐν καρδίᾳ, διόπερ καὶ οἱ λόγοι,
καὶ οἱ τρόποι τοῦ βίου,τὴν θείαν κοινωνίαν,
ἥν ἔπασχες ἐβόων.

Παρεστηκὼς ὡς ἄγγελος,τοῦ Θεοῦ κατ᾽ ἐνώπιον,
τὴν φρικτὴν Θυσίαν, πάντοτε προσήνεγκες,
καὶ παρ᾽ Αὐτοῦ ἐδέεσο, ὑπὲρ ἁπάντων Ὅσιε,
ἐν κραυγῇ ψυχῆς καὶ συντριβῆς ἀσυγκρίτου,
διὸ καὶ ὁ Δεσπότης, φιλοτέκνῳ ἀγάπῃ,
ἐπλήρου τὰς ἑκάστου, ζητήσεις συμφερόντως.

Ὁ ἡσυχίας οἶστρός σε,οὐδαμῶς καταλέλειπεν,

ἀλλὰ ἄχρι βίου,τέλους ἠκολούθησε, παρέχων Σωφρόνιε,
Γεθσημανίου πεῖράν σοι προσευχῆς,
καὶ τὴν ἐν σταυρῷ, ἀγωνίαν Κυρίου, ἣν πλήρως ᾠκειώθης,
καὶ ταύτην χαρμοσύνως, ἐξέπεμπες τοῖς τρόποις,
ἐν πάσῃ περιστάσει.

Θεοτοκίον

Θεὸν τεκοῦσα Πάναγνε,κατὰ φύσιν γεγέννηκας,
μόνη Θεοτόκος,καὶ πιστοὺς ἠξίωσας,
γεννᾶν τὸν Φιλάνθρωπον, ἐν ταῖς καρδίαις αὐτῶν μυστικῶς,
καὶ τὰς ἀρετάς, καρποφορεῖν κατὰ χάριν,
ὅθεν γλυκὺν Υἱόν σου,Ἰησοῦν ἀνυμνοῦμεν,
σὺν πᾶσι τοῖς Ἁγίοις, εἰς πάντας τοὺς αἰῶνας.

ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ὡς πάλαι Ἰακὼβ πρὸ τῆς τελευτῆς, εὐλογίαν τοῖς τέκνοις κατέλιπεν, οὕτω καὶ σύ, ὡς φιλοτεκνότατος πατρικῶς, τὴν εὐλογίαν δέδωκας, ὅσιε Σωφρόνιε ἐκ ψυχῆς, καὶ Πνεύματι Ἁγίῳ, παρέδωκας σωφρόνως, τὴν κληρουχίαν ἣν ἐγέννησας.

Ἀγάλλεται πατρίς σου ἡ σαρκική, ὁ δὲ Ἄθως μεγάλως εὐφραίνεται, ἀλλ’ ἡ Μονὴ, τοῦ σεπτοῦ Προδρόμου ὑπερσκιρτᾷ, ὡς ἔχουσά σε Ὅσιε, ἅμα τῷ πατρί σου Σιλουανῷ, ἐν οὐρανοῖς μεσίτας, θεοπειθεῖς καὶ ταύτῃ, τὰς εὐλογίας καταπέμποντας.

Σεμνύνεται ἐνθέως Πάτερ σοφέ, ἡ Χριστοῦ Ἐκκλησία πλουτήσασα, σὲ θαυμαστόν, ἔν τε Θεολόγοις καὶ ἀσκηταῖς, ἅμα καὶ διδασκάλοις τε, παλαιῶν Πατέρων ἰσοβαρῆ, τῷ βίῳ καὶ τοῖς λόγοις, τὸ ἦθος
τὸ ἐμπρέπον, τοῖς Ὀρθοδόξοις ἐκτιθέμενον.

Ὢ γῆ τῆς Βρετανίας μακαριστή! ἡ ἐν σπλάγχνοις τηροῦσα τὸ τίμιον, καὶ ἱερόν, σκῆνος Σωφρονίου τοῦ θαυμαστοῦ, ὅπερ Θεὸς ἠξίωσεν, Πνεύματος γενέσθαι οἶκον σεπτόν, καὶ βρύειν τοῖς ἐν πίστει, προστρέχουσι ἀφθόνως, τὰς δωρεὰς τῆς θείας Χάριτος.

Θεοτοκίον

Ἁγίαζε Παρθένε σεπτὴν Μονήν, τὴν ἐν Ἔσσεξ Προδρόμου ἣν ἔπηξεν, τέκνον τὸ σόν, ὁ σεπτὸς Σωφρόνιος καὶ αὐτήν, ὡς ἄλλον Ἄθω ἔδειξεν, ἔνθα χριστοφίλητοι ἀρεταί, ἐργάζονται καὶ οὕτω, δοξάζεται Τριάδος, τὸ ἱερὸν καὶ θεῖον Ὄνομα.

Ἐξαποστειλάριον
Ἦχος β΄. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Σωφρόνιε μακάριε, κατὰ χάριν θεόπτα, φωτὸς ἀκτίστου ἔδειξας, ἐν ἡμέραις ἐσχάταις, τὴν τῶν ἀρχαίων Πατέρων, θεοδίδακτον πεῖραν, ἐνεργοῦσαν ἀφράστως, τοῖς τὸν Νόμον Κυρίου, τηροῦσι κατ’ ἀκρίβειαν, καὶ πολλῇ ταπεινώσει, εἶναι αὐτήν, ἣν Θαβὼρ ὑπέδειξεν ὁ Δεσπότης, Ὃν ἐκτενῶς ἱκέτευε, χάριν ἡμῖν διδόναι.

Θεοτοκίον, ὅμοιον.

Τοῦ θείου Περιβόλου σου, ἄνθος εὔοσμον ὤφθη, Σωφρόνιος Πανάχραντε, πᾶσαν τὴν οἰκουμένην, γραφαῖς χριστόσμοις στηρίξας, καὶ τὴν γνῶσιν διδάξας, Τριαδικῆς θεότητος, θαυμαστῇ πολιτείᾳ, καὶ ἀρεταῖς, νοῦν τηρῶν ἐν ᾅδῃ εὐελπιστίᾳ, Σιλουανὸν τὸν ὅσιον, ὁδηγὸν εὐμοιρήσας.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ
Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ θεόφρον Σωφρόνιε, τῇ Ἐκκλησίᾳ Χριστός, μέγα δῶρον κεχάρισται, κόσμου σε λυτρούμενος, καὶ πρὸς φῶς ὁδηγήσας σε, ζωῆς ἀφθάρτου, ἣν προσοικείωσας, καὶ φιλοτίμως, ψυχὴν ἐκάθηρας, Ἄθω εὑράμενος, θεῖον ἐργαστήριον ἀσκητικῶς, ἴχνεσιν ἑπόμενος, ἡσυχαστῶν παλαιῶν.

Ὅσιε πάτερ Σωφρόνιε, Σιλουανὸν ὁδηγόν, ἀπλανῆ καὶ θεόσοφον, ὁ Χριστός σοι δέδωκεν, ἐν τῷ Ὄρει προστρέξαντι, δι’ οὗ τὰ βάθη, Πνεύματος ἔμαθες, καὶ ταῦτα βίβλοις, κόσμῳ μετέδωκας, δρόμον ἐπίμοχθον, ἡσυχίας πάντοτε τρέχων σοφῶς, ὅλος αὐγαζόμενος, θεογνωσίας αὐγαῖς.

Χριστοπαράδοτον πρόσταξιν, Κράτει εἰς ᾅδην τὸν νοῦν, εὐελπίστως Σωφρόνιε, ἰσοβίως ἔργον σου, ζωηφόρον ἐφύλαξας, διὸ ἐλλάμψεις τοῦ Θείου Πνεύματος,

λογιστικόν σου, φωτοειδέστατον, τόπον ἀνέδειξαν, καὶ λαλοῦν ὡς ὕδωρ σε φρέαρ ζωῆς, ἔνθεν πλήθη ἄπειρα, φῶς ἀρυόμεθα.

Μονὴν Προδρόμου Σωφρόνιε, ἥν περ ὡς δῶρον Αὐτῷ, εὐγνωμόνως ἀνέθηκας, εἰς αἰῶνας φύλαττε, ἐκ κινδύνων ἀπήμαντον, καὶ ἀσκουμένους, ὧδε ἑκάστοτε, ναοὺς τοῦ θείου, ἔνδειξον Πνεύματος. Εἰς κατακλήρωσιν, ἅμα σοι καὶ Γέροντι Σιλουανῷ, τῆς ἀσείστου Πόλεως, τοῦ συναντῆσαι Χριστόν.

Δόξα. Ἦχος ὁ αὐτός.

Τὸν ἐνυπόστατον Θεὸν Λόγον, τὸν φιλανθρώπως σαρκωθέντα καὶ τῇ ἀῤῥήτῳ Αὐτοῦ Οἰκονομίᾳ, τὸν πλοῦτον τῆς Χάριτος, διὰ τῆς Ἐκκλησίας ἡμῖν δωρησάμενον, πάτερ ἡμῶν Σωφρόνιε, γνοὺς ὑπερφυῶς ὡς τὴν μόνην ἀληθῆ ζωήν, τῷ φωτολαμπεῖ βίῳ καὶ ταῖς θεοσόφοις σου γραφαῖς, πάσῃ τῇ οἰκουμένῃ διεξοδικῶς ἐφανέρωσας. Ὅθεν νῦν ὡς μέτοχος τοῦ ἐν Παραδείσῳ ἀκτίστου φωτός, ταῖς φιλοτέκνοις σου πρεσβείαις ἀξίωσον καὶ ἡμᾶς τοὺς ταπεινούς, ὅπως ἐν ἀληθεῖ μετανοίᾳ Αὐτὸν ὡς ἔστι πώποτε εὐφραντικῶς ὀψώμεθα.

Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου.

Εἰς τὴν Θείαν Λειτουργίαν, Ἀποστολοευάγγελον τὰ ὁσιακά(βλ.5 Δεκεμβρίου).

Στίχοι
Σὺν Σιλουανῷ, Σωφρόνιε, πατρί σου,
Μνήσθητι πάντων τῶν ὑμᾶς συντιμώντων.

Συνετέθη, σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα Ἀκολουθία ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας, Ἁγίου Ὄρους Ἄθω, τῇ 25 3 / 7.4.2020 .